## Κείμενο

ΙΣ. *Ἀλλ’ οὖν προμηνύσῃς γε τοῦτο μηδενὶ*
*τοὔργον, κρυφῇ δὲ κεῦθε, σὺν δ’ αὔτως ἐγώ.*
ΑΝ. *Οἴμοι, καταύδα· πολλὸν ἐχθίων ἔσῃ*
*σιγῶσ’, ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.*
ΙΣ. *Θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.*
ΑΝ. *Ἀλλ’ οἶδ’ ἀρέσκουσ’ οἷς μάλισθ’ ἁδεῖν με χρή.*
ΙΣ. *Εἰ καὶ δυνήσῃ γ’· ἀλλ’ ἀμηχάνων ἐρᾷς.*
ΑΝ. *Οὐκοῦν, ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.*
ΙΣ. *Ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.*
ΑΝ. *Εἰ ταῦτα λέξεις, ἐχθαρῇ μὲν ἐξ ἐμοῦ,*
*ἐχθρὰ δὲ τῷ θανόντι προσκείσῃ δίκῃ.*
*Ἀλλ’ ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν*
*παθεῖν τὸ δεινὸν τοῦτο· πείσομαι γὰρ οὐ*
*τοσοῦτον οὐδὲν ὥστε μὴ οὐ καλῶς θανεῖν.*
ΙΣ. *Ἀλλ’ εἰ δοκεῖ σοι, στεῖχε· τοῦτο δ’ ἴσθ’, ὅτι*
*ἄνους μὲν ἔρχῃ, τοῖς φίλοις δ’ ὀρθῶς φίλη.*

Χαρίκλεια Μυττά, φιλόλογος